τίον τὸ τοὺς φίλους εὖ ποιεῖν τῷ τοὺς ἐχθροὺς κακῶς· πότερον δὲ καὶ κατ᾽ ἀλήθειαν οὕτως ἔχει ἢ οὔ, ἐν τοῖς ὑπὲρ τῶν ἐναντίων λεγομένοις ῥηθήσεται. δῆλον δ᾽ ὅτι καὶ ὅσαι δόξαι κατὰ τέχνας εἰσί, διαλεκτικαὶ προτάσεις εἰσί· θείη γὰρ ἄν τις τὰ δοκοῦντα τοῖς ὑπὲρ τούτων ἐπεσκεμμένοις, οἷον περὶ μὲν τῶν ἐν ἰατρικῇ ὡς ὁ ἰατρός, περὶ δὲ τῶν ἐν γεωμετρίᾳ ὡς ὁ γεωμετρικός· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

11
104b Πρόβλημα δ᾽ ἐστὶ διαλεκτικὸν θεώρημα τό συντεῖνον ἢ πρὸς αἵρεσιν καὶ φυγὴν ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ αὐτὸ ἢ ὡς συνεργὸν πρός τι ἕτερον τῶν τοιούτων, περὶ οὗ ἢ οὐδετέρως δοξάζουσιν ἢ ἐναντίως οἱ πολλοὶ τοῖς σοφοῖς ἢ οἱ σοφοὶ τοῖς πολλοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς. ἔνια μὲν γὰρ τῶν προβλημάτων χρήσιμον εἰδέναι πρὸς τὸ ἑλέσθαι ἢ φυγεῖν, οἷον πότερον ἡ ἡδονὴ αἱρετὸν ἢ οὔ· ἔνια δὲ πρὸς τὸ εἰδέναι μόνον, οἷον πότερον ὁ κόσμος ἀίδιος ἢ οὔ. ἔνια δὲ αὐτὰ μὲν καθ᾽ αὑτὰ πρὸς οὐδέτερον τούτων, συνεργὰ δέ ἐστι πρός τινα τῶν τοιούτων· πολλὰ γὰρ αὐτὰ μὲν καθ᾽ αὑτὰ οὐ βουλόμεθα γνωρίζειν, ἑτέρων δ᾽ ἕνεκα, ὅπως διὰ τούτων ἄλλο τι γνωρίσωμεν. ἔστι δὲ προβλήματα καὶ ὧν ἐναντίοι εἰσὶ συλλογισμοί (ἀπορίαν γὰρ ἔχει πότερον οὕτως ἔχει ἢ οὐχ οὕτως διὰ τὸ περὶ ἀμφοτέρων εἶναι λόγους πιθανούς) καὶ περὶ ὧν λόγον μὴ ἔχομεν ὄντων μεγάλων χαλεπὸν οἰόμενοι εἶναι τὸ διὰ τί ἀποδοῦναι, οἷον πότερον ὁ κόσμος ἀίδιος ἢ οὔ· καὶ γὰρ τὰ τοιαῦτα ζητήσειεν ἄν τις.

Τὰ μὲν οὖν προβλήματα καὶ αἱ προτάσεις καθάπερ εἴρηται διωρίσθω. θέσις δέ ἐστιν ὑπόληψις παράδοξος τῶν

---

**31** τῷ] τὸ B ‖ post ἐχθροὺς add. δεῖ A **32** καὶ om. u Al$^p$ ‖ κατ᾽ ἀλήθειαν om. Al$^p$ ‖ οὕτως om. Bo ‖ ἐν τοῖς ὑπὲρ τ. ἐναντ. λεγ.] Περὶ ἑρμ. c. 14 **33. 34** κατὰ τὰς τέχνας δόξαι C **36—37** γεωμετρίᾳ—γεωμ.—ἰατρικῇ—ἰατρός Bo **36** ὁ om. AB **37** γεωμέτρης C Al$^p$ **104b 4** μηδετέρως C Leo$^1$ var. Al$^c$ ‖ οἱ πολλοὶ τοῖς σοφοῖς ἢ om. C, post 5 ἢ colloc. P var. Al$^c$ **6** πρὸς C, μόνον πρὸς utvs 8 cett. Bo **9** καθ᾽ αὑτὰ om. APc ‖ οὐδέτερα ABc **11** ἑτέρου C ‖ ἕνεκεν Cu **12** εἰσὶν ἐναντίοι Cu var. Al$^c$ **14** ἀμφότερα AB (contra Al$^c$ Bo) ‖ λόγους εἶναι u ‖ ante λόγους add. τοὺς P **15** ἔχωμεν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/36 UNIVERSITÄT LEIPZIG